Μὰ τὴν Ἀναπνοὴν, μὰ τὸ Χάος, μὰ τὸν Ἀέρα, A
Οὐκ εἶδον οὕτως ἄνδρ' ἄγροικον οὐδένα,
Οὐδ' ἄπορον, οὐδὲ σκαιὸν, οὐδ' ἐπιλήσμονα.
Ὅστις σκαλαθυρμάτι' ἄττα μικρὰ μανθάνων,
Ταῦτ' ἐπιλέλησται πρὶν μαθεῖν. ὅμως γε μὴν
Αὐτὸν καλῶ θύραζε δευρὶ πρὸς τὸ φῶς. B
Ποῦ Στρεψιάδης; ἔξει τὸν ἀσκάντην λαβών.
Στρ. Ἀλλ' οὐκ ἐῶσί μ' ἐξενεγκεῖν οἱ κόρεις.
Σω. Ἀνύσας τι, κατάθου, καὶ πρόσεχε τὸν νοῦν. Στρ. ἰδού.
Σω. Ἄγε δὴ τί βούλει πρῶτα νυνὶ μανθάνειν,
Ὧν οὐκ ἐδιδάχθης πώποτ' οὐδέν; εἰπέ μοι.
Πότερα περὶ μέτρων, ἢ περὶ ἐπῶν, ἢ ῥυθμῶν.
Στρ. Περὶ τῶν μέτρων ἔγωγ'. ἔναγχος γάρ ποτε C
Ὑπ' ἀλφιταμοιβοῦ παρεκόπην διχοινίκῳ.
Σω. Οὐ τοῦτ' ἐρωτῶ σ'. ἀλλ' ὅ,τι κάλλιστον μέτρον
Ἡγεῖ. πότερον, τὸ τρίμετρον. ἢ τὸ τετράμετρον;
Στρ. Ἐγὼ μὲν, οὐδὲν πρότερον ἡμιεκτέου.
Σω. Οὐδὲν λέγεις ὦ 'νθρωπε. Στρ. περίδου νυν ἐμοί. D

*Per halitum, per Chaos atrum, per aëra:*
*Nunquam vidi ego quenquam ita ingenio agresti & hebeti:*
*Ita perplexum atque obliuiosum: velut hic est*
*Strepsiades: qui etiam nugamenta leuicula,*
*Et ludicra, quæ discit, prius obliuiscitur,*
*Quàm didicerit. Sed euocabo ipsum foràs,*
*Huc in claram lucem. Vbinam Strepsiades? age*
*Exi: & grabatum vnà effer huc tecum illicet.*
ST. *At cimices non sinunt efferre me.* SO. *ocyus*
*Propera, & depone, & aduorte animum sedulò.*
ST. *Eccum me.* SO. *age tu, quid vis nunc primum discere,*
*Quod antea nunquam didiceris? cedò mihi:*
*Vtrum de mensuris, aut versibus, aut Rythmis?*
ST. *De mensuris equidem. Nam nuper admodū*
*Pollintor emunxit me duobus Congijs.*
SO. *Non hoc te rogo, sed quodnam metrum iudices*
*Pulcerrimum: vtrum Trimetrum, an verò Tetrametrum?*
ST. *Ego nullum melius esse iudico metrum,*
*Quàm est semisextarius.* SO. *nihil dicis, mi homo.*

Σχόλια. Μὰ τὴν ἀναπνοήν,] ὑποχωρήσαντος τοῦ χοροῦ, εἰσίασιν αὖθις οἱ ὑποκριταί. Ἔστιν οὖν ἡ παροῦσα εἴσθεσις τῆς διπλῆς, ἐκ στίχων ἰαμβικῶν τριμέτρων ἀκαταλήκτων, ογ. ὧν τελευταῖος οἷαν δίκην τοῖς κόρεσι δώσω τήμερον. ἐπὶ τῷ τέλει διπλῆ ἔξω νενευκυῖα. E δυσφορεῖ δὲ Σωκράτης ἐπὶ τῇ τοῦ Στρεψιάδου ἀμαθίᾳ. ἐντεῦθεν δέ φασι τὸν Ἀριστοφάνη χαριεντιζόμενον τοῖς περὶ Ἄνυτον καὶ Μέλιτον γεγραφέναι τὸ δράμα διαβάλλοντα εἰς ἀθεΐαν τὸν Σωκράτη διὰ τῆς πολυμαθίας. καὶ τοὺς φιλοσόφους ἁπλοϊκοὺς διαβάλλειν. ἐπεὶ καὶ οὕτω προεῖπε μὴ ἡγεῖσθαι θεοὺς, πλὴν τὸ χάος καὶ τὴν ἀναπνοὴν καὶ τὸν ἀέρα. Σκαιόν.] σκαιοὺς τοὺς ἀμαθεῖς καὶ δυσπαρακολουθήτους ἔλεγον, ἢ τοὺς μωροὺς ἀπὸ τῆς σκαιᾶς. Σκαλαθυρμάτι' ἄττα.] σκαλεύματα σμικρὰ καὶ λεπτὰ παντάπασι νοήματα καὶ μαθήματα σκαριφήματα. F ἔγκειται δὲ καὶ τὸ ἄθυρμα. οἱονεὶ παίγνια καὶ οὐδὲν ἀξιόπιστα. ἐκ τούτου δὲ διαβάλλει Σωκράτη, ὡς εὐτελῆ εἰσιν ἃ διδάσκει, καὶ οὐδενὸς ἄξια λόγου. Ἔξει.] ἀντὶ τοῦ ἔξελθε. ἔστιν εἴω τὸ πορεύομαι. οὗ παράγωγον εἶμι. ὁ παρατατικὸς εἶν. εἶς. εἶ. καὶ ὥσπερ ἐν τοῖς εἰς ω τὸ τρίτον πρόσωπον τοῦ ὁριστικοῦ παρατατικοῦ, δεύτερόν ἐστι προστακτικὸν, οὕτω καὶ ἐν τοῖς εἰς μι σχηματίζουσιν οἱ Αἰολεῖς καὶ οἱ Ἀθηναῖοι. οἷον ἵστη μετὰ κῦμα. ἀντὶ τοῦ ἵσταθι. Ἀριστοφάνης. καὶ τοὺς κοφίνους ἅπαντας ἐμπίμπλη πετρῶν. ἀντὶ τοῦ ἐμπίμπληθι. G οὕτως οὖν καὶ ἐκ τοῦ ει τρίτου προσώπου τοῦ ὁριστικοῦ παρατατικοῦ ἐν συνθέσει ἔξει προστακτικόν. ἢ ἀπὸ τοῦ εἴω. οὗ ὁ δεύτερος ἀόριστος ἴον. ἴες. ἴε. καὶ μετὰ τῆς ἐξ ἔξιε καὶ κατὰ μετάθεσιν καὶ συναίρεσιν ἔξει. ὡσαύτως καὶ μετὰ τῶν λοιπῶν προθέσεων μέτει καὶ δίει. πλὴν τοῦ πάρει καὶ σύνει. ἐνταῦθα γὰρ αἱ προθέσεις τῷ εἶ ἀντὶ τοῦ ὑπάρχεις συνδυάζονται. Τὸν ἀσκάντην.] σκίμποδα. δίφρου τι εἶδος ἢ τὸν κράβαττον. Πότερα περὶ μέτρων.] καλῶς διέστησεν. οὐ γὰρ εἴ τι μέτρον ἐστὶν, ἤδη καὶ ἔπος. εἴ τι δὲ ἔπος, ἤδη πάντως καὶ ῥυθμὸς καὶ μέτρον. σημειωτέον δ' ὅτι καὶ ταῦτα τῶν κυκλικῶν μαθημάτων. διαφέρει δὲ μέτρον καὶ ῥυθμός. καὶ ὅτι πατὴρ μέτρου ῥυθμός. καὶ ὅτι ἀρχαία ἡ τῶν μέτρων καὶ ῥυθμῶν διδασκαλία. Περὶ τῶν μέτρων.] λείπει τὸ θέλω μαθεῖν. διαβολὴ δὲ τὸ πᾶν. ὅτι τὰ μὴ οἰκεῖα τῇ τέχνῃ ἐπαγγέλλεται διδάσκειν. οὔτε γὰρ ποιητής ἐστιν οὔτε κωμικός. ὡς ἄγροικος δὲ πρεσβύτης ἀπεκρίνατο περὶ τῶν γεωργικῶν δεξάμενος. Ἀλφιταμοιβοῦ.] τοῦ ἀντικαταλλάσσοντος καὶ πιπράσκοντος ἄλφιτα. ἢ τοῦ ἀμείβοντος ἀντὶ ἀργυρίου ἄλφιτα. οὕτω καὶ ἀργυραμοιβοί, οἱ ἀντὶ ἀργυρίου κέρματα ἀμείβοντες. Παρεκόπην.] ἐζημιώθην. ἀντὶ τοῦ ἐπλάνησέ με τῇ μέτρων ποσότητι δύο χοίνικας. Κάλλιστον μέτρον.] διαβάλλει Σωκράτη. οὐ γὰρ ποιητικὴν ἢ μουσικὴν ἐπηγγέλλετο διδάσκειν. ὁ δὲ τὰ προσόντα μὴ λέγων, χαριζόμενος δὲ τὰ μὴ προσόντα ἀμφοτέρων ἐκεῖνος ἀποστερεῖται, ὁ τοὺς λόγους ἀμφοτέρων ἀποφαίνων ἀλλοτρίους καὶ ἀπείρους. Ἡμιεκτέου.] τοῦ τετραχοινίκου. ὁ γὰρ μέδιμνος χοίνικας ἔχει μη. τούτων τὸ ἕκτον ὀκτώ. τὸ ἥμισυ τοῦ ἕκτου τουτέστι τῶν ὀκτώ, τὰ τέσσαρα ὃ καλεῖται τετράμετρον. ὁ οὖν ἡμίεκτος τέσσαρας ἔχει χοίνικας. ἔπαιξε δὲ πάλιν εἰπών, οὐδὲν κάλλιον ἡγοῦμαι ἡμιεκτέου μέτρου τουτέστι τεσσάρων χοινίκων. τούτου οὖν τὸ ἕκτον ἐστὶ ὀκτὼ χοίνικες. τὸ δὲ ἡμίεκτον τουτέστι τὸ δωδέκατον τῶν ὀκτὼ πρὸς τοῖς τεσσαράκοντα χοίνικες τέσσαρες. παρατηρητέον δὲ ὅτι διὰ τοῦ ε δεῖ γράφειν ἡμιεκτέου. οὐ κατὰ τὴν κοινὴν χρῆσιν διὰ διφθόγγου, ἡμιεκταίου. Περίδου νυν ἐμοί.] ἀντὶ τοῦ συνθήκας ποίησον. παρὰ τὸ

Ὁμη-